*Κύρνε συναμφοτέρους μοῖρα λάβοι θανάτου.*

(Theognidis)

*οἵ κ' ἀπογηράσκοντας ἀτιμάζωσι τοκῆας,*
*τούτων τοι χώρη Κύρν' ὀλίγη τελέθει.*

---

*μήτέ τιν' αὖξε τύραννον ἐπ' ἐλπίδι, κέρδεσιν εἴκων,*
*μήτε κτεῖνε θεῶν ὅρκια συνθέμενος.*

---

*πῶς ὑμῖν τέτληκεν ὑπ' αὐλητῆρος ἀείδειν*
*θυμός; γῆς δ' οὖρος φαίνεται ἐξ ἀγορῆς,*
*ἥ τε τρέφει καρποῖσιν †ἐν εἰλαπίναις φορέοντας*
*ξανθῇσίν τε κόμαις πορφυρέους στεφάνους.†*
*ἀλλ' ἄγε δὴ Σκύθα κεῖρε κόμην, ἀπόπαυε δὲ κῶμον,*
*πένθει δ' εὐώδη χῶρον ἀπολλύμενον.* ⊗

---

*πίστει χρήματ' ὄλεσσα, ἀπιστίηι δ' ἐσάωσα·*
*γνώμη δ' ἀργαλέη γίνεται ἀμφοτέρων.*

(Theognidis)

*πάντα τάδ' ἐν κοράκεσσι καὶ ἐν φθόρωι· οὐδέ τις ἥμιν*
*αἴτιος ἀθανάτων Κύρνε θεῶν μακάρων,*
*ἀλλ' ἀνδρῶν τε βίη καὶ κέρδεα δειλὰ καὶ ὕβρις*
*πολλῶν ἐξ ἀγαθῶν ἐς κακότητ' ἔβαλεν.*

---

*δισσαί τοι πόσιος κῆρες δειλοῖσι βροτοῖσιν,*
*δίψά τε λυσιμελὴς καὶ μέθυσις χαλεπή·*
*τούτων δ' ἂν τὸ μέσον στρωφήσομαι, οὐδέ με πείσεις*
*οὔτέ τι μὴ πίνειν οὔτε λίην μεθύειν.*